Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος
κραταιὸς καὶ δυνατὸς, κύριος δυνατὸς ἐν πολέμῳ.
Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθη-
τε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασι-
λεὺς τῆς δόξης.
Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος
τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

## Κάθισμα γ΄.

### Ψαλμὸς τῷ Δαυίδ. κδ΄.

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου,
ὁ θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυν-
θείην εἰς τὸν αἰῶνα.
Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου,
καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ κα-
ταισχυνθῶσιν.
Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.
Τὰς ὁδούς σου κύριε γνώρισόν μοι, καὶ τὰς
τρίβους σου δίδαξόν με.
Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ
δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου,
καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.
Μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε, καὶ τὰ ἐλέη